τοὺς νοητοὺς ἀντιπάλους πάλιν καὶ νίκην κερδήσας καὶ πρὸς θεωρίαν καὶ ἱεροὺς φωτισμοὺς καὶ θείας ἐλλάμψεις καλῶς ἀναχθείς, ἡνίκα πλεῖστα καὶ (f. 766) ὠφελιμώτατα συνεγράψατο, καὶ σεμνὸς ὅλος καὶ θεοειδὴς καταστάς, τὴν ἱερωσύνην ἤδη μόλις καὶ βίᾳ καὶ πολλῶν παρακλήσεων ἐπιθέσει κατεδέξατο, τοῖς ὁρῶσιν, ἡνίκα τὴν ἀναίμακτον προσέφερε τῷ θεῷ λατρείαν, ὅλος φαινόμενος ἐξιστάμενος, ὅλος πεφωτισμένος, ἔκδημος ὅλος ἱερωμένος θεῷ ὥσπερ τις ἔνσαρκος ἄγγελος.

Ἀλλὰ γὰρ ἐφεξῆς ἤδη τὰ πολλῷ μείζω καὶ περιφανέστερα κατορθώματα καὶ τὰ λαμπρὰ καὶ γενναῖα τοῦ τρισαριστέως τρόπαια. Ἐπεὶ γὰρ ἔμελλε τὸ τρισάθλιον γένος ἡμῶν καὶ τοῦτο μετὰ τῶν ἄλλων, τὸ τῆς ἐκκλησίας δεινὸν ὑποστῆναι καὶ τοιαύτην ἕνωσιν ἐπιτεχνάσασθαί τε καὶ καταδέξασθαι, καὶ τὰ πρὸς τοῦτο παρεσκευάζετο, μετὰ πολλῆς ἱκεσίας τηνικαῦτα καὶ λόγων παντοίων καὶ οἰκονομίας ἁπάσης ἐπὶ τὴν ὑψηλὴν ἐπιβὰς τῆς Ἐφέσου καθέδραν ὁ καὶ μειζόνων καὶ τῶν πρώτων τιμῶν ὡς ἀληθῶς ἄξιος καὶ μέγας ἀρχιερεὺς καὶ τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως καὶ ποιμένος ζηλωτὴς ἀποφανθείς, οἷον ὁ μέγας Παῦλος σκιαγραφεῖ, νέος ὅλος μέγας Βασίλειος καὶ δοκῶν πᾶσι καὶ ὀνομαζόμενος, ἤδη βασιλέως ἐξορμηθέντος καὶ κατάραντος εἰς Ἰταλίαν σὺν πατριάρχῃ τε καὶ κλήρῳ παντί, μόνος οὗτος ἐφάνη καὶ πρῶτον καὶ μέσον κἀν τῷ τέλει μάχαιρα μὲν δίστομος κατὰ τῶν ἐπὶ τῷ εὐγενεῖ σπόρῳ τῶν ἱερῶν τῆς ἐκκλησίας δογμάτων νόθων καὶ μοχθηρῶν ζιζανίων, θεοκρότητος δὲ σάλπιγξ θεολογίας καὶ ποταμὸς ἀκένωτος τῶν εὐσεβῶν συγγραμμάτων καὶ ὅρων τῶν ἁγίων πατέρων καὶ διδασκάλων διατόρῳ καὶ μελιχρᾷ καὶ νεκταροβρύτῳ φωνῇ καὶ ψυχῆς ἀτρέστῳ καὶ γενναίῳ παραστήματι. Ἴσασιν ὅλα πλήθη καὶ γένη τῶν ἐκεῖσε παρόντων τὰς τῶν λογισμῶν ἐκείνων σοφισματώδεις στροφάς τε καὶ πλεκτάς τε καὶ τρόπους καὶ δόλους καὶ λόγους, ἵνα μηδὲν ἀπαχθέστερον εἴπω, τῇ τῶν ἁγίων πατέρων ἀκραιφνεῖ θεολογίᾳ ἀπ' αὐτοῦ τοῦ πρώτου θεολόγου καὶ τῶν θεολόγων καθηγεμόνος τοῦ Θεοῦ Λόγου καὶ ἐφεξῆς καὶ ταῖς οἰκουμενικαῖς ἀποφάσεσι καί που καὶ συλλογισμῶν ἀποδεικτικῶν καὶ ἀναντιρρήτων ἀνάγκῃ ὡς ἀφρόν τινα ἢ καπνὸν διαλύων ἐπί τε ταῖς περὶ τοῦ πυργατορίου διαλέξεσι καὶ περὶ τῆς τολμηθείσης τῷ ἁγίῳ συμβόλῳ προσθήκης καὶ τέλος περὶ αὐτοῦ δὴ τοῦ δόγματος, ὅτε στήλης ἁπάσης περιφανέστερον ἐξεφάνη καὶ ἡ ἱερὰ τοῦ μεγάλου θεολογία καὶ ἐπιστήμη καὶ ἡ ἐνοικοῦσα τούτῳ χάρις τοῦ παναγίου πνεύματος καὶ ὁπόση τῆς ἀληθείας ἐστὶν ἡ δύναμις καὶ τὸ σαθρὸν καὶ ἀβέβαιον τῶν λατινικῶν δοξῶν φανερῶς διηλέγχθη, ὥσπερ κἀν τῇ πατρίδι πρώην ὕστερον ἐν τρισὶ διαλέξεσι, κἂν διαρρηγῶσιν οἱ τἀναντία που καὶ φρονοῦντες καὶ λέγοντες. Ἀλλ' ὡς ἡ τῶν πλειόνων ἐτολμήθη πᾶσι τρόποις καὶ μηχαναῖς συγκατάθεσις καὶ ὡς κατάδικος ἤδη παρέστη τῷ καλουμένῳ ἄκρῳ ἀρχιερεῖ καὶ ἅπαξ καὶ δὶς οἷόν ποτε καὶ

---

19. πρῶτος A.
31. περὶ om. A.